## 26 IANUARIE
## HARALAMBOS BOUSIA

# PARACLISUL SF.CUVIOŞI XENOFONT,MARIA, ARCADIE ŞI IOAN DE LA CONSTANTINOPOL



## PARACLISIERUL PE IANUARIE-GR



# ΠΑΡΑΚΛΗΣΙΣ ΟΣΙΟΥ ΞΕΝΟΦΩΝΤΟΣ ΚΑΙ ΣΥΝΟΔΕΙΑΣ

## Ποίημα Δρ. Χαραλάμπους Μπούσια

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον. Τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τοὺς μονοτρόπων ὑφηγήτορας δεῦτε, ἐν ψαλτηρίῳ καὶ εὐήχῳ σαμβύκῃ, πιστῶς ἀνευφημήσωμεν βοῶντες αὐτοῖς· Ξενοφῶν Ἀρκάδιε Ἰωάννη Μαρία, δένδρα εὐθαλέστατα τῆς ἐρήμου ἀπαύστως, ἐκδυσωπεῖτε ῥύσασθαι ἡμᾶς, ἐξ ἀνηκέστου φθορᾶς τὸν Φιλάνθρωπον.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε...

*Ψαλμὸς Ν' (50).*

*Καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:* ΞΕΝΟΦΩΝΤΟΣ ΟΙΚΟΝ ΛΙΤΕΤΑΙ ΧΑΡΑΛΑΜΠΗΣ

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ξενίαν παράσχου μοι Ἰησοῦ, ἐν τῇ σωτηρίῳ, Ἐκκλησίας σου κιβωτῷ, καὶ δέξαι με ἄχρι τελευτῆς μου, ἐν τοῖς χωρίοις αὐτῆς ἐργαζόμενον.

Ἐνώτισαι ταύτην τὴν πενιχράν, παράκλησιν κλῆμα, εὐθαλέστατον Ξενοφῶν, καὶ βότρυν ἀξίωσόν με φέρειν, ἔργων χρηστότητος ὅπως σωθήσομαι.

Νεκρώσαντες ἅπαν τὸ γεηρόν, Ἀρκάδιε θεῖε, Ἰωάννη καὶ Ξενοφῶν, ὁμοῦ σὺν Μαρίᾳ ἰσαγγέλως, ἐν ἀπροσίτοις ὁπαῖς ἐβιώσατε

*Θεοτοκίον.*

Ὁ τρίστηνος δέομαι Μαριάμ, θεόγραπτε τόμε, σωτηρίας τῶν χοϊκῶν, ἐν βίβλῳ ζωῆς κατάγραψόν με, τὸν ἐκζητοῦντα τὴν θείαν πρεσβείαν σου.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Φωτοφόρον τετράδα, τῶν ἀρετῶν ἔγνωμεν, Ξενοφῶντα καὶ Ἰωάννην, ἅμα Ἀρκάδιον, σὺν τῇ Μαρίᾳ πιστοί, τοὺς ἐν ἐρήμῳ φανέντας, ὡς πλειάδα πάμφωτον, κόσμον αὐγάζουσαν.

Ὦ Ἀρκάδιε θεῖε, Σαββαϊτῶν καύχημα, καὶ τῶν μοναστῶν Ἰωάννη, τὸ ἀκροθίνιον, πανευκλεὲς ξυνωρίς, Χριστὸν δυσώπει ῥυσθῆναι, ἐκ δεινῶν κολάσεων, σὲ τοὺς γεραίροντας.

Νικηφόρως τὸν βίον, ὦ Ξενοφῶν Ὅσιε, καὶ Μαρία σύμβιε τούτου, ἐπερατώσατε, ἐν οὐρανοῖς δὲ τανῦν, ὑπὲρ ἡμῶν δυσωπεῖτε, τὸν Χριστὸν λυτρώσασθαι, πάντας ἐκ θλίψεων.

*Θεοτοκίον.*

Τρισμακάριστε Κόρη, παρθενικὸν καύχημα, ἐν ταῖς σαῖς ὠλέναις τὸν κόσμον, Κτίστην ἐβάστασας, διὸ ἐκ βάθους ψυχῆς, δοξολογῶν σε κραυγάζω· ἐξ ἀμπλακημάτων μου, ῥῦσαι καὶ σῶσόν με.

Διάσωσον, ὦ συνοδεία ὀλβία τοῦ Ξενοφῶντος, σοὺς ἱκέτας ἐκ συμφορῶν κινδύνων καὶ θλίψεων, ὡς χάριν εὑροῦσα παρὰ Κυρίου.

Ἐπιβλέψον ἐν εὐμενείᾳ...

*Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάται θερμοί, καὶ πύργοι ἀδιάσειστοι, ἐλέους πηγαί, καὶ ὅρμοι γαληνότατοι, Ξενοφῶν Μαρία τε, Ἰωάννη σεπτὲ καὶ Ἀρκάδιε, ἐκδυσωπεῖτε τὸν Δημιουργόν, ὑμᾶς τοὺς τιμῶντας πόνων ῥύσασθαι.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὀδυνῶν με ἀπάλλαξον, Ξενοφῶν θεόφρον ψυχῆς καὶ σώματος, ὁ ἑκὼν οἰκήσας ἔρημον, διὰ τὴν ἀγάπην τοῦ Παντάνακτος.

Σαρκικῶν ὦ Ἀρκάδιε, φρονημάτων ὤφθης σαφῶς ἀνώτερος, ὅθεν δεῖξόν με τὸν μέλποντα, σὲ δεινῶν συγχύσεων ὑπέρτερον.

Οὐρανίου φρονήματος, ἐμπλησθεῖσα ἔλιπες πλοῦτον βρότειον, ὅθεν κράζω σοι· οὐράνωσον, καὶ τὸν νοῦν ἡμῶν Μαρία πάνσεμνε.

*Θεοτοκίον.*

Ἱλασμὸς γενηθήτω μοι, ἡ σὴ μεσιτεία Θεογεννήτρια, καὶ δεινῶν κακῶν ἐκλύτρωσις, γένους τῶν μερόπων παραμύθιον.

*Ὠδὴ ε΄. Φώτισαν ἡμᾶς.*

Κόσμου χαμερπῆ, συνοδεία ἐγκατέλιπες, τοῦ πανσόφου Ξενοφῶντος ὅθεν νῦν, καταξίωσον κἀμὲ φρονεῖ τὰ κρείττονα.

Ὄμβρησον κἀμοί, τῆς σῆς χάριτος Ἀρκάδιε, ὑετὸν και ἁμαρτίας μου κλεινέ, ἀποξήρανον ὀμβρήματα πρεσβείαις σου.

Νεῦσον ταῖς ἡμῶν, Ἰωάννη παρακλήσεσι, καὶ ἐκ νόσου κατωδύνου ζοφερᾶς, ἀπολύτρωσαι ἡμᾶς ταῖς σαῖς ἐντεύξεσι.

*Θεοτοκίον.*

Λάμψον μοι τὸ φῶς, μετανοίας τὸ γλυκύτατον, Θεοτόκε ἡ τὸ ἄστεκτον τὸ φῶς, οἰκουμένης ἀνατείλασα τοῖς πέρασιν.

*Ὠδὴ ς΄. Τὴν δέησιν.*

Ἰσχύϊ, τοῦ Παναγίου Πνεύματος, ἀκηδίας πῦρ κατάσβεσον πάτερ, σοφὲ Ἀρκάδιε τὸ κατακαῖον, τῶν ἱκετῶν σου ψυχῶν τὰ ἐνδότερα, ὁ κατασβέσας τοῖς κρουνοῖς, τῶν δακρύων σου πῦρ ἅπαν βρότειον.

Τῇ χάριτι, Ξενοφῶν θεσπέσιε, τοῦ Χριστοῦ ἀτμίδα πάντα ἡγήσω, καὶ εἰς Αὐτὸν τὸν σὸν νοῦν περιφέρων, τὰς τοῦ βεβήλου διώλεσας φάλαγγας. Διὸ καὶ πάντας βοηθεῖς, μηχανὰς τὰς τοῦ ὄφεως λύσασθαι.

Ἐν κρίσως, τῇ ἡμέρᾳ Ἅγιε, ἀρωγὸς ἡμῖν γενοῦ Ἰωάννη, καὶ ἐκ δικαίας ἡμᾶς καταδίκης, ταῖς σαῖς θερμαῖς ἱκεσίαις ἐκλύτρωσαι, ὁ δι᾽ ἀγάπην τοῦ Χριστοῦ, ἑκουσίως πολίσας τὴν ἔρημον.

*Θεοτοκίον.*

Τρυχόμενοι, ὑπὸ νόσων Δέσποινα, ἀνιάτων καὶ παθῶν ἀκαθάρτων, τῇ ἀντιλήψει σου πάντες θαῤῥοῦμεν, καὶ ἐκλαμβάνομεν ἴασιν τάχιστα, ὢ κολυμβήθρα Σιλωάμ, τῆς Καινῆς Διαθήκης τῆς χάριτος.

Διάσωσον, ὢ συνοδεία ὀλβία τοῦ Ξενοφῶντος, σοὺς ἱκέτας ἐκ συμφορῶν κινδύνων καὶ θλίψεων, ὡς χάριν εὑροῦσα παρὰ Κυρίου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον…

*Αἴτησις καὶ τὸ Κοντάκιον. Ἦχος β΄. Ταχὺ προκατάλαβε..*

Εὐμάρειαν ῥέουσαν, καὶ τὰς προσκαίρους τιμάς, ἠρνήθητε χαίροντες, καὶ μοναζόντων χοροῖς, σοφοὶ ἠριθμήθητε. Κύριον δυσωπεῖτε, Ξενοφῶν Ἰωάννη, σὺν θείῳ Ἀρκαδίῳ, καὶ Μαρία ἀπαύστως, δοθῆναι τοῖς εὐσεβέσιν ἄμετρον ἔλεος.

*Προκείμενον: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ…*

*Στίχ.: Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη…*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια΄, 27-30):* Εἶπεν ὁ Κύριος· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου…

*Δόξα:* Ταῖς τῶν Σῶν Ὁσίων…

*Καὶ νῦν:* Ταῖς τῆς Θεοτόκου…

*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στίχ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ξενοφῶν Μαρία τε, θεοφιλὲς Ἰωάννη, καὶ κλεινὲ Ἀρκάδιε, βότρυες γλυκύτατοι, θείας χάριτος, ἀσκητῶν πρότυπα, ῥόδα μυρίπνοα, ἐν σπηλαίοις ἐξανθήσαντες, μὴ μὲ ἐάσητε, τὸν ὑμῶν ἱκέτην συνέχεσθαι, τῷ κλύδωνι τῶν θλίψεων, καὶ τῶν ζοφερῶν περιστάσεων, ἀλλὰ δυσωπεῖτε, Χριστὸν τὸν Ζωοδότην καὶ Θεόν, ἐκ χαμαιζήλου λυτρώσασθαι, πόθου με τὸν δείλαιον.

*ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Αἴροντες τὸν σταυρὸν ἐπ᾽ ὤμων, τῆς ἀσκήσεως Πατέρες ἐν ἐρήμῳ, πρὸς νομὰς θεϊκὰς ἀνήλθετε βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἵλεως Ξενοφῶν γενοῦ μοι, καὶ καθάρισον ψυχῆς μου σηπεδόνας, ὁ ἀσκήσει στεῤῥᾷ καὶ ἰσαγγέλῳ βίῳ, καθάρας τὸ ἱμάτιον, τῆς ψυχῆς σου ἐν σπηλαίῳ.

Χάριν παρὰ Κυρίου εὗρες, θεραπεύειν τὰ ἐπώδυνα τὰ ἕλκη, τῶν σωμάτων ἡμῶν καὶ τῶν ψυχῶν θεόφρον, τοῦ Ξενοφῶντος σύμβιρ, ὑπερένδοξε Μαρία.

*Θεοτοκίον.*

Ἄχραντε Μῆτερ τοῦ Ὑψίστου, ἐκ βυθοῦ ἐξάγαγέ με ἀπωλείας, καὶ πρὸς ἄκλυστον σὺ ὁδήγησόν με ὅρμον, τῆς μετανοίας ἵνα σε, ἀνυμνῶ εἰς τοὺς αἰῶνας.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ῥανίδας στάξον, ὑπακοῆς τῇ ψυχῇ μου, Ἰωάννη καὶ ἀνύψωσον τὸν νοῦν μου, πρὸς τὰ θεῖα ἅπερ, ἐπόθησας ἐν βίῳ.

Ἀμέμπτου βίου, θεοειδὴς συνοδεία, ἀναβάσεις τὰς σεπτὰς ὑπόδειξόν μοι, ἵνα τῆς μερίδος, τῶν σῳζομένων τύχω.

Λύτρωσιν δός μοι, ἐκ ψυχοφθόρων σφαλμάτων, Ξενοφῶν τῷ προσιόντι σοι ἐκ πόθου, καὶ γεραίρόντι σε, ὡς καύχημα ἀζύγων.

*Θεοτοκίον.*

Ἀπεγνωσμένῳ, ἐκ τῶν πολλῶν μου σφαλμάτων, Ἀειπάρθενε γενοῦ μοι ὁδηγία, καὶ πρὸς εὐηθεία, τὰς τρίβους ἴθυνόν με.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκου.*

Μνημόνευε ἀπαύστως, Ξενοφῶν φωσφόρε, τοὺς ὁλοτρόπῳ σπουδῇ σοι προστρέχοντας, καὶ οἷα γνήσιον φίλον Θεοῦ δοξάζοντας.

Περισπασμοῖς ποικίλοις, βλαβεροῖς ὁ τάλας, περιπεσὼν ὦ Ἀρκάδιε δέομαι, σαῖς ἱκεσίαις εἰρήνην ψυχῆς μοι δώρησαι.

Ἡλίου λαμπροτέρα, ἡ σὴ πολιτεία, ὦ Ἰωάννη τῷ κόσμῳ ἐξέλαμψε, φωταγωγοῦσα τὰς τρίβους τῶν εὐφημούντων σε.

*Θεοτοκίον.*

Στεφάνοις ἀφθαρσίας, στέψον τοὺς σοὺς δούλους, τοὺς σὲ γεραίροντας Κόρη πανύμνητε, καὶ τὸν Υἱὸν καὶ Θεόν σου ἀεὶ δοξάζοντας.

*Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.*

Χαίροις αὐταδέλφων δυὰς κλυτή, θεῖε Ἰωάννη, καὶ Ἀρκάδιε θαυμαστέ· χαίροι τε Μαρία, καὶ Ξενοφῶν συνάμα, σεπτὴ ἐκείνων ῥίζα, ἡ ἀγλοαόκαρπος.

Δεῦτε ἀνυμνήσωμεν ἐν χορῷ, τὴν σεπτὴν δυάδα, Ξενοφῶντα τὸν εὐκλεῆ, σὺν τῇ θεοφόρῳ, Μαρίᾳ τῇ συμβίῳ, αὐτοῦ ὥσπερ κανόνας, αὐταπαρνήσεως.

Χαίροις πανσεβάσμιε ξυνωρίς, μάκαρ Ἰωάννη, καὶ Ἀρκάδιε γεραρέ, αὐταδέλφων κλέος, ὡράϊσμα ἐρήμου, καὶ πολισταὶ σπηλαίων, θεοειδέστατοι.

Πᾶσαι τῶν Ἀγγέλων...

*Τὸ Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ξενοφῶντα τὸν δίκαιον εὐφημήσωμεν, σὺν τῇ συμβίῳ Μαρίᾳ τῇ ταπεινῇ καὶ σεμνῇ, καὶ υἱῶν αὐτοῦ δυάδα τὴν θεόσδοτον, τὸν Ἰωάννην τὸν κλεινόν, καὶ Ἀρκάδιον ὁμοῦ, τοὺς στύλους τῆς εὐσεβείας, οὓς κατέχομεν νῦν ἱκέτας, καὶ πρεσβευτὰς ἡμῶν θερμοὺς πρὸς Θεόν.

*Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τὸ ἑξῆς: Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας, τοὺς προστρέχοντας πιστῶς, τῇ ὑμῶν στεῤῥᾷ μεσιτείᾳ, ἐλευθερώσατε, Ξενοφῶν Ἀρκάδιε πανοσιώτατοι, Ἰωάννη Μαρία τε τῆς χάριτος ῥόδα, ἐκ τῆς τοῦ ἀλάστορος δολίας ἐπιβουλῆς, ἵνα ἐν ἀμώμῳ καρδίᾳ, τὰ ὑμῶν λαμπρὰ ἀνυμνοῦμεν, ἐν ἐρήμῳ Ὅσιοι παλαίσματα.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

